## 6 ΙΟΥΝΙΟΥ 2020
## Σάββατον πρὸ τῆς Πεντηκοστῆς
## (Ψυχοσάββατον)

Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ᾿ αἰῶνος κοιμηθέντων εὐσεβῶς, ἐπ᾿ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.
Ἱλαρίωνος ὁσίου τοῦ νέου, ἡγουμένου τῆς μονῆς τῶν Δαλμάτων (†845).

* * * * *

## ΤῊ ΠΑΡΑΣΚΕΥῊ ΕΣΠΕΡΑΣ
## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Καὶ ἄρχεται ὁ Ἀναγνώστης ἀναγινώσκων τὸν Προοιμιακὸν Ψαλμόν, λέγων οὕτω·
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ´ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ᾿ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος

καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου,
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * *

[Μετὰ τὴν συνήθη Στιχολογίαν,
Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...]

* * *

# ΟΙ ΕΠΙΛΥΧΝΙΟΙ ΨΑΛΜΟΙ

Ἦχος Πα




Πα
Μη εκ κλι νης την καρ δι αν μου εις λο γους
πο νη ρι ι ας του προ φα σι ζε σθαι προ φα σεις εν α μαρ
τι ι αις
Πα
Συν αν θρω ποις ερ γα ζο με νοις την α νο μι ι αν
και ου μη συν δυ α α σω με τα των ε κλε κτων αυ των
Πα
Παι δευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε λαι ον δε α μαρ τω λου μη λι πα να τω την κε
φα λη ην μȣ
Πα
Ο τι ε τι και η προ σευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να πε τρας
οι κρι ται αυ των
Πα
Α κου σον ται τα ρη μα τα μου ο τι η δυν θη
σαν ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ
πι σθη τα ο στα αυ των πα ρα τον Α α δην
Πα
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθα λμοι
Δι
Πα
οι μου ε πι σοι ηλ πι σα μη αν τα νε λης την ψυ χη ην


μου
Φ υ λα ξο ον με α πο πα γι δος ης συ νε στη σαν
το μοι και α πο σκαν δα λωντων ερ γα ζο με νωντην α νο
μι αν
Π ε σου ουνται εν α μφι βλη στρω αυ των οι α μαρτω
λοι κα τα μο νας ει μι ε γω ω ε ως αν πα
ρε ελ θω
Φ ω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη μου
προςΚυ ρι ον ε δε η η θην
Ε κ χε ω ε νω πι ον αυ του την δε η σι ιν
μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Ε ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και
συ ε εγνωςτας τρι βους μου
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο μην ε κρυ ψαν
πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α και ε πε


βλε πον και ουκ ην ο ε πι γι νωσκων με
Πα
Α πω λε το φυ γη απ ε μου και ουκ ε στιν ο εκ
ζη τω ων την ψυ χη ην μου
Πα
Ε κε ε κρα ξα προς σε Κυ ρι ε ει ει πα συ
ει η ελ πις μου με ρις μου ει εν γη ζω ωντων
Πα
Π ρο ο σχες προς την δε η σι ιν μου ο τι ε τα πει
νω θην σφο δρα
Πα
Ρ υ σαι με εκ των κα τα δι ω κον των με ο τι ε
κρα ται ω θη σαν υ πε ρε με
Πα
Ε ξα γα γε εκ φυ λα κης την ψυ χη ην μου του
ε ξο μο λο γη σα σθαι αι τω ο νο μα τι σου
Πα
Ε με υ πο με νου σι δι και οι ε ως ου αν
τα πο δως μοι
Πα
Ε κ βα θε ων ε κε κρα ξα σοι Κυ ρι ε Κυ ρι
Μ
Πα
ε ει σα κου σον της φω νη ης μου
Πα
Γ ε νη θη τω τα ω τα σου προ σε χον τα εις την

φω νην της δε η σε ω ως μου

Ἱστῶμεν στίχους Ϛʹ, καὶ ψάλλομεν

Στιχηρὰ Μαρτυρικὰ τῆς Ὀκτωήχου γʹ.

Ἦχος Δι

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται;

ο τι πα ρα σοι ο ι λα σμος ε στιν

Οι Μαρ τυ ρες σου Κυ ρι ε ουκ ηρ νη σαν το σε

ουκ α πε στη σαν α πο των εν το λων σου ταις αυ

των πρε σβει ει ει αις ε λε η σον η μας

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου,

ηλ πι σεν η ψυ χη μȣ ε πι

τον Κυ ρι ον

Οι μαρ τυ ρη σαν τες δι α σε Χρι στε πολ λας βα

σα α α νους υ πε μει να πρε σβει αις Κυ ρι ε και ευ

χαις αυ των παν τας η μα ας δι α φυ λα α ξο ον

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας

ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι ον

Ο ι α θλο φο ροι Μαρ τυ ρες και ου ρα νο πο
λι ι ται ε πι γης α θλη σα ντες πολ λας βα σα α
νους υ πε μει ναν και τε λει ον α πε λα βον τον στε φα
νον εν ου ρα νοι οις ι να πρε σβευ ω σιν υ περ των
ψυ χων η ημων

Καὶ τῶν Κεκοιμημένων γ΄.

Ὁ ἐν Ἐδὲμ Παράσεισος. Ἦχος Νη

Στίχ. η΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πα σων των
α νο ο μι ων αυ τȣ

Των απ αι ω νος ση με ρον νε κρων α παν των κατ
ο νο μα με τα πι στε ως ζη σαν των ευ σε βως μνη μην
τε λȣν τες οι πι στοι τον Σω τη ρα και Κυ ρι ον α
νυ μνη σω μεν αι τȣν τες εκ τε νως τȣ τȣς εν ω ω ρα
της κρι σε ως α πο λο γι αν α γα θην δȣ ναι αυ
τω ω τω Θε ω η μων τω πα σαν κρι νον τι την
γην της δε ξι ας αυ τȣ ȣ πα ρα στα σε ως τυ

χον τας εν χα ρα εν με ρι δι ι Δι και αι αι ων

και εν Α γι ων κλη ρον φω τει νω και α ξι

ȣς γε νε εσθαι της ȣ ρα νι ȣ Βα σι λει ας αυ τȣ

Στίχ. θ΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν,

παν τες οι λα οι

Ο τω οι κει ω αι μα τι Σω τηρ βρο τȣς εκ πρι

α με νος και θα να τω σȣ θα να τȣ τȣ πι κρȣ εκ

λυ τρω σα με νος η μας και ζω ην την αι ω νι ον

πα ρα σχων τη α να στα σει σȣ η μιν παν τας α να α

παυ σον Κυ ρι ε τȣς κοι μη θεν τας ευ σε βως η εν

ε ρη η μοις η πο λε σιν η εν θα λασ ση Η εν

γη η εν παν τι το ο πω βα σι λεις τε ι ε

ρεις αρ χι ε ρεις μο να στας και αι μι γα α α δας

εν η λι κι α πα ση πα γγε νει και α ξι

ω σον αυ τȣς της ȣ ρα νι ȣ Βα σι λει α ας σȣ

Στίχ. ι΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια


τοῦ Κυρίου
με ε νει εις τον αι ω να
Τ η εκ νε κρων ε γερ σει σϗ Χρι στε ϗ κε τι ο
θα να τος κυ ρι ευ ει των θα νον των ευ σε βως
δι ο αι τϗ μεν εκ τε νως τϗς σϗς δϗ λϗς α να παυ
σον εν αυ λαις σϗ και εν κολ ποις Α βρα αμ τϗς εξ
Α δα αμ με χρι σημε ρον λα τρευ σαν τας σοι κα
θα ρως πα τε ρας και α δελ φϗς η μων φι λϗς ο
μϗ και συγ γε νεις α παν τα αν θρω πο ον τα τϗ βι ϗ
λει τϗρ γη σαν τα πι στως και προς σε με ε τα στα α αν
τα πο λυ ει δως και πο λυ τρο πως ο Θε ος
και α ξι ω σον τϗ ϗ τϗς της ϗ ρα νι ϗ Βα σι λει
α ας σϗ
Ἦχος Νη
Δ ο ο ξα Πα α τρι ι ι και Υἱ υι ω και Α γι ω
Πνε ε ε ευ μα α α α τι
Νη
Θ ρη νω και ο ο δυ ρο ο μαι ο ταν εν νο




Καὶ νῦν. Θεοτοκίον.

Ἦχος Πα




νων α α α μην
Πα
Τις μη μα κα ρι σει σε Πα να γι α α α Πα α ρθε
Δι Πα
ε ε νε τις μη α νυ υ μνη σει ει σου τον α λο ο
ο χε ε ευ τον το ο ο ο κον ο γαρ α χρο νως εκ
Πα τρος εκ λα αμ ψας Υι ος μο ο νο γε ε νης ο
αυ τος εκ σου ου της α α α γνη η ης προ ο η ηλ θεν
α φρα α α στως σα αρ κω ω ω θεις φυ σει Θε ε
ε ο ο ος υ πα α αρ χων και φυ σει γε νο
ο με ε νος α αν θρω ω ω πος δι ι η η η η
Κε Δι
μας ουκ εις δυ α α δα α προ σω ω ω ω πων τε
μνο ο με ε ε ε νος αλλ εν δυ α α δι ι φυ
Πα
υ σε ε ων α συγ χυ υ τως γνω ω ω ρι ζο ο
Δι
με ε ε ε νος αυ το ον ι ι κε τε ευ ε σε μνη πα
Πα
αμ μα κα α α α ρι ι ι ι στε ε λε η θη η η
η η η ναι τα ας ψυ χα α ας η η η η μω ω




* * *

Ἄνευ εἰσόδου.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Ἀντὶ δὲ τοῦ Προκειμένου, ψάλλομεν·

Ἦχος Γα




Στίχ. α΄. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου. (Ψαλμ. ξδ΄ 5)




Στίχ. β΄. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. (Ψαλμ. ρλδ΄ 13)




* * *

Εἶτα εὐθὺς ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.
Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## ΑΠΟΣΤΙΧΑ

### Εἰς τὸν Στίχον, Στιχηρά.

### Μαρτυρικόν.

Ἦχος  Δι




### Νεκρώσιμον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται,






ης και κοι νω νον με κα τε στη σας θε με νος των ε πι

γης κα ταρ χειν με τω αυ τε ξȣ σι ι ω Λο γε δι ο

ο Σω τερ τȣς δȣ λȣς σȣ εν Χω ρα ζων των εν σκη ναις Δι

και ων α να πα αυ σον

## Ἕτερον.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· κα τα

σκη νω σȣ σιν εν ται αις αυ λαις σȣ

Ι να μοι το α ξι ω μα της των λοι πων ζω ης δι ι

α κρι νη ται κη πον εν τη Ε δεμ παν τοι οις ω ρα ϊ

σμε νον φυ τοις ε φυ τευ σας λυ πης και με ρι μνης ε λευ θε

ρον με το χον θει ας ζω ης ι σαγ γε λον ε πι γης

μι κτο ον με τα ξας δι ο ο Σω τερ τȣς δȣ λȣς σȣ

εν Χω ρα ζων των εν σκη ναις Δι και ων α να πα αυ

σον

## Ἦχος Πα

Πα

Δ ο ο ο ξα Πα α τρι ι ι ι και Υι υι ω και


Α γι ω Πνευ μα α α τι
Α ρ χη μοι και υ πο στα α σις το πλα στουρ γον σου
γε ε γο ο ο νε προ ο στα α α α γμα βου λη
θεις γαρ εξ α ο ρα του ου τε και ο ρα της με ζω ον
συμ πη η ξαι φυ υ σε ε ε ως γη θεν μου το
σω ω μα δι ι ε ε πλα α α α σας δε δω κας
δε μοι ψυ υ χην τη θει ει α α σου και ζω ω
ο ο ποι ω ω εμ πνε ε ε ευ σει δι ο Σω τηρ
του ους δου λου ους σου εν χω ω ω ρα α ζω ω ων των
εν σκη ναις δι και ω ων α να α α πα α α αυ
σον
Ἦχος Κε
Και νυν και α ει και εις τȣς αι ω νας των αι
ω νων α μην
Π ρε σβει αις τη ης τε κȣ σης σε Χρι στε και τω ων Μαρ
τυ ρων σȣ Α πο στο ο λων Προ φη των Ι ε ραρ




Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως ἡ ᾨδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β´ 29-32)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

* * *

## ΝΕΚΡΩΣΙΜΟΣ ΚΑΝΩΝ

Καὶ εὐθὺς ψάλλομεν τὸν παρόντα Νεκρώσιμον Κανόνα, οὗ ἡ ἀκροστιχίς·

*Ἕκτον προσαυδῶ τοῖς ἀπελθοῦσιν μέλος.*

Ποίημα Θεοφάνους.

ᾨδὴ α΄. Ἦχος πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, οἱ γενναῖοι Μάρτυρες, δυσωποῦσί σε Χριστέ· οὓς ἐκ γῆς μετέστησας πιστούς, αἰωνίων ἀγαθῶν τυχεῖν ἀξίωσον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Κατακοσμήσας τὰ πάντα, ζῷον μικτόν, μέσον με τὸν ἄνθρωπον, ταπεινότητος ὁμοῦ, καὶ μεγέθους ἔπλασας· διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Δόξα.

Τοῦ Παραδείσου πολίτην καὶ γεωργόν, κατ᾽ ἀρχάς με ἔταξας· παραβάντα δὲ τὴν σήν, ἐντολὴν ἐξώρισας· διό, τὰς τῶν δούλων σου ψυχάς, Σῶτερ ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ πλευρᾶς διαπλάσας Εὔαν τὸ πρίν, τὴν ἡμῶν προμήτορα, ἐξ ἀχράντου σου γαστρός, σάρκα περιβάλλεται· δι᾽ ἧς, τοῦ θανάτου τὴν ἰσχὺν Ἁγνὴ διέλυσεν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Νομίμως ἤθλησαν οἱ σοί, Μάρτυρες Ζωοδότα, καὶ στεφάνῳ τῆς νίκης κοσμηθέντες παρὰ σοῦ, τοῖς μεταστᾶσι πιστοῖς, αἰωνίαν λύτρωσιν βραβεύουσι.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Παιδεύσας πρότερον πολλοῖς, τέρασι καὶ σημείοις, ἐμὲ τὸν πλανηθέντα, ἐπ᾽ ἐσχάτων σεαυτόν, κενώσας ὡς συμπαθής, καὶ ζητήσας, εὗρες καὶ διέσωσας.

Δόξα.

Ῥεόντων ἄστατον φθοράν, τοὺς πρὸς σὲ διαβάντας, ἐν σκηναῖς αἰωνίοις, κατοικεῖν χαρμονικῶς, ἀξίωσον Ἀγαθέ, δικαιώσας πίστει τε καὶ χάριτι.

Καὶ νῦν. Θεοτοκίον.

Οὐκ ἔστιν ἄμεμπτος ὡς σύ, πάναγνε Θεομῆτορ· μόνη γὰρ ἐξ αἰῶνος, τὸν Θεὸν τὸν ἀληθῆ, συνέλαβες ἐν γαστρί, τοῦ θανάτου λύσαντα τὴν δύναμιν.

Ὁ εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου Ἀγαθέ, καὶ στερεώσας αὐτούς, ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Καὶ μνημονεύει ὁ Ἱερεύς.

Εἶτα Καθίσματα. Ἦχος πλ. β΄.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον· καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενής, ὡς εἶπεν ἡ Γραφή· ὅτε τὸν κόσμον κερδήσωμεν, τότε τῷ τάφῳ οἰκήσωμεν, ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί· διὸ Χριστὲ ὁ Θεός, τοὺς μεταστάντας ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με· ἀνθρωπίνῃ προστασίᾳ μὴ καταπιστεύσῃς με· ἀλλ᾽ αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Σοφίας μείζονος, δεικνύων γνώρισμα, καὶ τῆς περὶ τὰ δῶρα πολυτελοῦς, Δέσποτα χρηστότητος, τὰς τῶν Μαρτύρων χορείας, τοῖς Ἀγγέλοις συνηρίθμησας.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Ἀφράστου δόξης σου, τυχεῖν ἀξίωσον, τοὺς πρὸς σὲ μεταστάντας, ἔνθα Χριστέ, τῶν εὐφραινομένων ἐστὶν ἡ κατοικία, καὶ φωνή, καθαρᾶς ἀγαλλιάσεως.

Δόξα.

Ὑμνοῦντας πρόσδεξαι, τὸ θεῖον κράτος σου, οὓς ἐκ γῆς προσελάβου, τέκνα φωτός, τούτους ἐργαζόμενος, τῆς ἁμαρτίας τὴν ἀχλύν, ἐκκαθαίρων Πολυέλεε.

Καὶ νῦν. Θεοτοκίον.

Δοχεῖον ἄχραντον, ναὸν πανάμωμον, κιβωτὸν παναγίαν, παρθενικόν, τόπον ἁγιάσματος, σὲ καλλονὴν τοῦ Ἰακώβ, ὁ Δεσπότης ἐξελέξατο.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Ὡς ὁλοκάρπωσις ἱερά, καὶ ὡς ἀπαρχὴ τῆς ἀνθρωπίνης οἱ Μάρτυρες φύσεως, τῷ δεδοξασμένῳ προσενεχθέντες Θεῷ, ἡμῖν τὴν σωτηρίαν, ἀεὶ βραβεύουσι.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Τῆς οὐρανίου διαγωγῆς, τῆς διανομῆς τῶν χαρισμάτων, ἀξίωσον Δέσποτα, τοὺς προκοιμηθέντας πιστοὺς οἰκέτας σου, παρέχων τῶν πταισμάτων, τὴν ἀπολύτρωσιν.

Δόξα.

Ὁ μόνος φύσει ζωοποιός, τὸ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστον πέλαγος, τοὺς τελειωθέντας τῆς Βασιλείας τῆς σῆς, ἀξίωσον Οἰκτίρμον, μόνε ἀθάνατε.

Καὶ νῦν. Θεοτοκίον.

Ἰσχὺς καὶ ὕμνησις ὁ ἐκ σοῦ, Δέσποινα τοῦ κόσμου γεννηθείς, καὶ σωτηρία ἐγένετο, τοῖς ἀπολλυμένοις, ἐκ τῶν τοῦ Ἅδου πυλῶν, ῥυόμενος τοὺς πίστει σε μακαρίζοντας.

Ὠδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Σταυρῷ προσηλούμενος, τῶν Μαρτύρων τοὺς χορούς, πρὸς σεαυτὸν συνήγαγες, μιμουμένους τὸ πάθος σου Ἀγαθέ· διό σου δεόμεθα, τοὺς πρός σε μεταστάντας διανάπαυσον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Ἀφράστῳ τῇ δόξῃ σου, ὅταν ἔλθῃς φοβερός, κρῖναι τὸν κόσμον ἅπαντα, ἐν νεφέλαις εὐδόκησον Λυτρωτά, φαιδρῶς ὑπαντῆσαί σοι, οὓς ἐκ γῆς προσελάβου πιστοὺς δούλους σου.

Δόξα.

Πηγὴ ζωῆς πέφυκας, ἐν ἀνδρείᾳ θεϊκῇ, πεπεδημένους Δέσποτα, ὁ ἐξάγων τοὺς δούλους σου τοὺς πρὸς σέ, πιστῶς ἐκδημήσαντας, ἐν τρυφῇ Παραδείσου κατασκήνωσον.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς γῆν ἀπεστράφημεν, παραβάντες τοῦ Θεοῦ, τὴν ἐντολὴν τὴν ἔνθεον· διὰ σοῦ δὲ Παρθένε πρὸς οὐρανόν, ἐκ γῆς ἀνυψώθημεν, τήν φθορὰν τοῦ θανάτου ἐκτινάξαντες.

Ὁ εἱρμός.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμών, βοῶ σοι· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Καὶ μνημονεύει ὁ Ἱερεύς.

Τὸ Κοντάκιον. Ἦχος πλ. δ΄.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστὲ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωή ἀτελεύτητος.

Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον· οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν, τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με καὶ εἰπών μοι· Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδήν, τό, Ἀλληλούϊα.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Λυτρωθέντες τῷ σῷ αἵματι οἱ Μάρτυρες, τῆς πρώτης παραβάσεως, ῥαντισθέντες δὲ τῷ ἰδίῳ αἵματι, τὴν σὴν σαφῶς εἰκονίζουσι σφαγήν. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Θρασυνόμενον τὸν θάνατον ἐνέκρωσας, Λόγε ζωαρχικώτατε· τοὺς ἐν πίστει δὲ κοιμηθέντας, πρόσδεξαι τανῦν, ὑμνοῦντας καὶ λέγοντας Χριστέ· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Δόξα.

Ὁ ψυχώσας με τὸν ἄνθρωπον φυσήματι, θείῳ θεαρχικώτατε, τοὺς μεταστάντας Βασιλείας Δέσποτα τῆς σῆς, ἀξίωσον ψάλλειν σοι Σωτήρ· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερτέρα πάσης κτίσεως Πανάμωμε, γέγονας, συλλαβοῦσα Θεόν, τὸν συντρίψαντα τοῦ θανάτου πύλας, καὶ μοχλοὺς συνθλάσαντα· ὅθεν σε Ἁγνή, ὑμνολογοῦμεν οἱ πιστοί, ὡς Θεομήτορα.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Σταθερῶς τοὺς ἀγῶνας ἐπιδειξάμενοι, τῷ τῆς νίκης στεφάνῳ κατεκοσμήθητε, Μάρτυρες Χριστοῦ ἀθλοφόροι, κραυγάζοντες· Σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Ἱερῶς τοὺς τὸν βίον ἀπολιπόντας πιστούς, καὶ πρὸς σὲ τὸν Δεσπότην μεταχωρήσαντας, δέξαι προσηνῶς, ἀναπαύων ὡς εὔσπλαγχνος, σὲ ὑπερυψοῦντας, Χριστὲ εἰς τοὺς αἰῶνας.

Δόξα.

Νῦν ἐν γῇ τῶν πρᾳέων πάντας αὐλίζεσθαι, τοὺς προκεκοιμημένους Σῶτερ, εὐδόκησον, πίστει τῇ εἰς σὲ δικαιώσας καὶ χάριτι, σὲ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομεν πάντες σὲ Παμμακάριστε, τὴν τὸν Λόγον τὸν ὄντως ὄντα μακάριον, σάρκα δι᾽ ἡμᾶς γεγονότα γεννήσασαν· ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ εἱρμός.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ δρᾷς, Χριστέ, μόνῳ τῷ βούλεσθαι· σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Στίχ. Πρεσβείαις τῶν μαρτύρων σου, Χριστὲ ὁ Θεός, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου.

Ἐλπὶς Μαρτύρων χοροὺς ἐνεύρωσε, καὶ πρὸς τὴν σὴν ἀγάπην διαπύρως ἐπτέρωσε, τῶν μελλόντων τούτοις προτυπώσασα, τὴν μὴ σαλευομένην ὄντως ἀνάπαυσιν, ἧς τοὺς μεταστάντας Ἀγαθὲ τυχεῖν ἀξίωσον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν.

Λαμπρᾶς καὶ θείας τυχεῖν ἐλλάμψεως, τῆς σῆς Χριστὲ τοὺς πίστει μεταστάντας εὐδόκησον, τὴν ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσιν, μόνος ὡς ἐλεήμων, τούτοις δωρούμενος, καὶ τῆς αἰωνίου ἀξιῶν μακαριότητος.

Δόξα.

Ὁ ὢν τῇ φύσει χρηστὸς καὶ εὔσπλαγχνος, καὶ θελητὴς ἐλέους εὐσπλαγχνίας ἡ ἄβυσσος, οὓς ἐκ τόπου τούτου τῆς κακώσεως, καὶ σκιᾶς τοῦ θανάτου Σῶτερ μετέστησας, ἔνθα καταλάμπει σου τὸ φῶς, τούτους κατάταξον.

Καὶ νῦν. Θεοτοκίον.

Σκηνὴν ἁγίαν Ἁγνὴ γινώσκομεν, καὶ κιβωτὸν καὶ πλάκα σε τοῦ νόμου τῆς χάριτος· διὰ σοῦ γὰρ ἄφεσις δεδώρηται, τοῖς δεδικαιωμένοις διὰ τοῦ αἵματος, τοῦ σωματωθέντος ἐκ τῆς σῆς γαστρὸς Πανάμωμε.

Ὁ εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν. Ἦχος Δι




Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἀπολυτίκια.

Ἦχος πλ. δ΄ Γα

Ο βα θει σο φι ας φι λαν θρω πως πα αν τα οι κο
νο μων και το συμ φε ρον πα σιν α πο νε μων μο νε Δη μι
ȣρ γε α να παυ σον Κυ ρι ε τας ψυ χας τω ων δȣ
λω ων σȣ εν σοι γαρ την ελ πι δα Α νε θεν το το ποι
η τη και πλα στη και Θε ε ω η η μων

Δόξα. Τὸ ἀκροτελεύτιον αὐτοῦ.

Ε ν σοι γαρ την ελ πι δα Α νε θεν το το ποι η
τη και πλα στη και Θε ε ω η η μων

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Σ ε και τει χος και λι με να ε χο μεν και πρε σβυν
ευ προ σδε κτον προς ον ε τε κες Θε ον Θε ο το ο κε
α νυμ φευ τε των πι στων η σω τη ρι α α α α

Ὁ διάκονος τὴν ἐκτενῆ
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος...

* * *

## ΝΕΚΡΩΣΙΜΟΝ ΜΝΗΜΟΣΥΝΟΝ

### Τὰ τροπάρια. Ἦχος δ΄.

Μετὰ πνευμάτων δικαίων * τετελειωμένων * τὰς ψυχὰς τῶν δούλων σου, * Σῶτερ, ἀνάπαυσον, * φυλάττων αὐτὰς * εἰς τὴν μακαρίαν ζωὴν * τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, * ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, * ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν δούλων σου, * ὅτι

μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, * ὁ καταβὰς εἰς ᾅδην * καὶ τὰς ὀδύνας λύσας * τῶν πεπεδημένων· * αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου, * Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη ἁγνὴ * καὶ ἄχραντος Παρθένος, * ἡ Θεὸν ἀσπόρως κυήσασα, * πρέσβευε τοῦ σωθῆναι * τὰς ψυχὰς τῶν δούλων σου.

Εἶτα ὁ ἱερεὺς ἱστάμενος πρὸ τῆς εἰκόνος τοῦ δεσπότου Χριστοῦ, κάτωθι τῆς ὁποίας εὑρίσκονται τὰ ὑπὲρ τῶν ἀποιχομένων κόλλυβα, ἐκφωνεῖ τὸ μνημόσυνον τῶν κεκοιμημένων ὡς ἑξῆς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ΄)

Ἔτι δεόμεθα ὑπὲρ αἰωνίου μνήμης καὶ μακαρίας ἀναπαύσεως πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν, [καὶ τῶν δούλων τοῦ Θεοῦ...] ἐκ τῶν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ΄, χύμα)

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἐκ γ΄, χύμα)

Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Ὁ χορός· Παράσχου, Κύριε.

Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον. (ἅπαξ)

Ὁ ἱερεὺς τὴν εὐχήν·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταργήσας καὶ τὸν διάβολον καταπατήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτός, Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, μοναχῶν καὶ πάντων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, συζύγων, τέκνων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ

στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτῶν πραχθέν, ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος σου ἀλήθεια· ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις πάντων τῶν κεκοιμημένων εὐσεβῶς ὀρθοδόξων χριστιανῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ χορός· Αἰωνία ἡ μνήμη. (ἐκ τρίτου)

## Η ΑΠΟΛΥΣΙΣ

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Εὐλόγησον.

Ὁ ἱερεύς·

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἀναγνώστης·

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Ὁ ἱερεὺς τὴν ἀπόλυσιν·

Ὁ ἱερεύς· Δόξα σοι, Χριστὲ ὁ Θεός...

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεύς· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν...

Ὁ χορός· Ἀμήν.

* * * * *